# Introduction to the Text of Galatians

The following text is based on a very simple premise: That the reading attested by the most *independent* witnesses is likely to be best. The use of the word *independent* is significant. The witnesses I follow are text-types, not individual manuscripts. In Galatians, and in Paul as a whole, there appear to be five text-types, which I denote by the symbols 𝔄, 𝔎, 𝔒, 𝔓, 𝔚. 𝔄 is the well-known Alexandrian text. 𝔎 is the equally well-known Byzantine text. 𝔚 is the similarly familiar "Western" text. The other two are not so widely acknowledged. 𝔓 is, approximately, Zuntz's proto-Alexandrian text; it has only three witnesses, 𝔓$^{46}$, B, and the Sahidic Coptic. 𝔒 is the text associated most especially with 1739, but also found (in weaker form) in 1881, 6, 424$^{c}$, and, very weakly indeed in this book, in the near-sisters 630 and 2200. It is similar to, but not identical with, the text of Origen.

Of these types, 𝔄, 𝔒, and 𝔓 have very great value. 𝔚, while old, is somewhat less reliable. 𝔎 appears to be secondary and has little textual significance — but has had great influence; almost all manuscripts have at least some 𝔎 mixture. One of the crucial tasks of the critic is always to determine whether the reading of a mixed manuscript, if it agrees with 𝔎, derives from the non-𝔎 ancestor or is the result of correction toward 𝔎.

There are at least two other textual groups with some independent value, though both have been heavily influenced by 𝔎. These are *family* 1611 (1505 1611 2495 hark) and *family* 330 (330 351 2492). There is also the group 256 263 365 1319 2127, usually called *family* 1319; this may be associated with the Armenian. In Paul, however, it seems closest to the Alexandrian group, and is cited alongside that group under the siglum ħ.

The procedure for determining the reading of each group varies. Where 𝔓$^{46}$ and B differ, we simply cannot list a reading for 𝔓. 1739 is usually an adequate representative of 𝔒, but if it is Byzantine, we must look also to 1881, 6, and 424$^{c}$. 𝔚 must be determined by looking at D, F+G, and the Old Latins. 𝔄 is the hardest of the types to determine, because it is the largest; as a result, I sometimes cite different portions of it as 𝔄$^{pt}$. 𝔎 and (very rarely) 𝔚 will sometimes also be cited in part. If I cite 𝔄$^{pt}$ in support of two readings, it means that both have substantial Alexandrian support; if I cite it for only one reading, it means that I suspect that that particular reading is "the" Alexandrian reading, but several manuscripts defect.

Once the text-types are known, the reading found in the majority of the four valuable types (𝔄 𝔒 𝔓 𝔚) is followed. If there are three readings attested by these types, or if we have two types against two, internal evidence may have to decide, though in general it is assumed that 𝔄 𝔒 𝔓 have greater value than 𝔚.

In cases where the majority of text-types is not decisive, the principle of parsimony is employed. This is a stemmatic application: We ask which reading gives rise to the others by the minimum number of steps. An example of this is 5:17. The adopted reading, α αν, has very poor support (almost nothing except the Byzantine text). However, no other reading is supported by more than one text-type. And every one of the other readings can be derived from the adopted reading α αν by a single change (no more than one word, with a change of no more than two letters). If any other reading is adopted as original, we are forced to allow for at least one two-step change. So the reading α αν is adopted despite its very poor support.

The text which follows includes a partial critical apparatus. Every reading where my text disagrees with the United Bible Societies text, or with the text of Westcott and Hort, is shown, and these two editions are cited in the apparatus. The apparatus includes only those variants which meet this criterion are shown, even though there are other readings where I consider the text to be highly uncertain (an example of the latter is 4:25).

In cases where this text disagrees with UBS, I have given a full citation of the relevant manuscripts and text-types. In addition, places where the text diverges from UBS are shown in **bold type.** There are about two dozen such points of divergence. Because Westcott-Hort sometimes adopted readings with very slight support, I have sometimes cited simply the manuscripts supporting their preferred variant, and cited *rell* for the other variant. *rell* can be assumed to include all the manuscripts cited consistently and the overwhelming majority of manuscripts not so cited.

The margin also shows all places where the Hodges & Farstad text disagrees with my text. However, if HF disagrees with my text but UBS and WH agree with it, manuscripts are not cited; the two readings are merely shown. (These minor variants have verse numbers shown in **blue type** to make it clear they are of lesser importance.) Variants in the HF apparatus are also shown, unless they involve instances where the *Textus Receptus* disagrees with the full Byzantine majority (that is, when TR is the only supporter HF show for their marginal variant). These are not shown.

Example: Here is the first variant reading in Galatians.

1:3 • και κυριου ημων (𝔓•𝔒•𝔚•𝔎): 𝔓46 B sa, 1739 1881, D F G am bam cav gran val, 𝔓51 H, K L 049 223 1960 (**WH**marg [ημων]) **HF**; ημων και κυριου (𝔄+𝔥): ℵ A 33 81 256-365-2127, a b ful leg reg sanger, 330 P 326 1241supp 1962 2464, Ψ 056 0142, **UBS WH**txt; και κυριου: 1319, 0150 0278 206

This means that the reading adopted in this text is και κυριου ημων, which is supported by four text-types: 𝔓 (as represented by the Greek witnesses 𝔓46 B and the Sahidic Coptic), 𝔒 (as represented by 1739 1881), 𝔚 (as represented by the Greek witnesses D F G and the vulgate witnesses am bam cav gran val), and by the Byzantine witnesses K L 049 223 1960. It also has the support of the mixed witnesses 𝔓51 H. This is also the reading of Westcott and Hort's margin, though with ημων in square brackets, and of Hodges & Farstad. The primary alternative ημων και κυριου is supported by the Alexandrian text 𝔄 and its ally 𝔥, as represented by ℵ A 33 81 256-365-2127. It also has support from some 𝔚 witnesses, the Latins a b ful leg reg sanger; by the mixed witnesses 330 P 326 1241supp 1962 2464, and by the Byzantine witnesses Ψ 056 0142. It is also the text of the United Bible Societies edition and the text (but not the margin) of Westcott and Hort. A third reading, και κυριου, has the support of 1319 0150 0278 206.

# Table of Symbols

## Textual Groupings

𝔄 Alexandrian Text: ℵ, A, C, I, 33
(81, 1175, bo listed in this group but generally not used to determine group reading)
𝔥 family 1319 (weakly Alexandrian): 256, 263, 365, 1319, 2127

𝔎 Byzantine (koine) text: K, L, Ψ, 049, 056, 0142, 223 (Kc),1960 (Kr)

𝔒 Family 1739: 1739, 1881, 424c, 6
(630 2200 weak members listed in this group but generally not used to determine group reading)
In general, 𝔒 will be cited where 1739 and any one of its allies agree. If 1739 is non-Byzantine and all other witnesses of the type are Byzantine, I may cite 𝔒 based on 1739 alone

𝔓 𝔓46/B/sahidic type (Zuntz's proto-Alexandrian): 𝔓46 B sa (N.B.: Since this group is so small, the symbol is only used where 𝔓46 and B agree)

𝔚 Western: D, F, G, old Latin [except r],vulgate in part

*Note: Textual groupings are listed only to clarify which readings are adopted. The individual manuscripts are also listed, in group order, insofar as they are known to me.*

## Greek Manuscripts

*All Greek manuscripts are cited according to the symbols used in Nestle-Aland edition 27. The following list shows where they appear in the textual groupings.*

| MS. | Type | MS. | Type | MS. | Type |
|---|---|---|---|---|---|
| 𝔓$^{46}$ | 𝔓 | 𝔓$^{51}$ | misc | א | 𝔄 (primary witness) |
| A | 𝔄 (primary witness) | B | 𝔓 | C | 𝔄 (primary witness) |
| D | 𝔚 | F | 𝔚 (sister of G) | G | 𝔚 (sister of F) |
| H | misc | I | 𝔄 (fragment) | K | 𝔎 |
| L | 𝔎 | P | misc/mixed | Ψ | 𝔎 |
| 049 | 𝔎 | 056 | 𝔎 (Oecumenius) | 075 | misc/mixed |
| 0142 | 𝔎 (Oecumenius) | 0150 | misc/mixed | 0278 | misc/mixed |
| 6 | 𝔒 (weak; close to 424$^{c}$) | 33 | 𝔄 (primary witness) | 81 | 𝔄 (secondary witness) |
| 104 | misc/mixed | 206 | misc/mixed | 216 | (mostly 𝔎; cited w/misc.) |
| 223 | 𝔎 (member of the K$^{c}$ subgroup) | 256 | 𝔥 | 263 | 𝔥 (weak member) |
| 323 | (mostly 𝔎; cited w/misc.) | 326 | misc/mixed | 330 | *family* 330 |
| 365 | 𝔥 | 424 | * is 𝔎; corrector almost pure 𝔒 | | |
| 436 | misc/mixed | 440 | (mostly 𝔎; cited w/misc.) | 459 | (mostly 𝔎; cited w/misc.) |
| 483 | misc/mixed | 614 | (mostly 𝔎; cited w/misc.) | 629 | vg influence; cited with 𝔚 |
| 630 | 𝔒; heavy 𝔎 mix; pair with 2200 | 642 | (mostly 𝔎; cited w/misc.) | 876 | misc/mixed |
| 945 | (mostly 𝔎; cited w/misc.; may have some slight 𝔒 influence) | | | 1175 | 𝔄 |
| 1241 | misc/mixed | 1319 | 𝔥 | 1505 | misc. (*family* 1611) |
| 1739 | 𝔒 | 1799 | misc/mixed (lect influence?) | 1881 | slightly impure 𝔒 |
| 1959 | (mostly 𝔎; cited w/misc.) | 1960 | 𝔎 (member of the K$^{r}$ subgroup) | | |
| 1962 | misc/mixed (related to 𝔥?) | 2127 | 𝔥 | | |
| 2200 | 𝔒; heavy 𝔎 mix; pair with 630 | 2344 | misc/mixed | 2464 | misc/mixed |

The following manuscripts have been checked for all (or nearly all) readings, insofar as they are extant:
𝔓$^{46}$ א A B C D F G K L P Ψ 049 056 0142 075 0150 0278 33 206 223 330 365 436 1319 1739 2344.
In addition, the following manuscripts are cited as far as they are known to me:
6 81 104 1175 1505 2464 (data for these are taken from NA$^{27}$, Bover, and Merk)
*N.B.: Manuscripts are listed in text-type order, separated by commas, in the order* 𝔓•𝔄•𝔒•𝔚•other mss of interest•𝔎.

## Old Latin Manuscripts — symbols follow NA$^{27}$

a b d f

## Vulgate Manuscripts, with date

*where all Vulgate manuscripts known to me agree, their reading is cited as* vg. *Where the manuscripts divide, they are cited by abbreviated name, as follows:*

| | | | |
|---|---|---|---|
| am | Amiatinus (viii) | bam | Bambergensis (ix; Alcuin's text) |
| cav | Cavensis (ix) | ful | Fuldensis (vi) |
| gran | Grandivallensis (ix; Alcuin's text) | leg | Legionensis (x) |
| reg | Reginensis (viii) | sanger | Sangermanensis (ix) |
| tol | Toletanus (viii) | ulm | Ulmensis (ix) |
| val | Vallicellianus (ix; Alcuin's text) | | |

### Other Versions

pesh Peshitta Syriac

hark Harklean Syriac (related to Family 1611)

hark**: Reading found in the Harklean text but surrounded by asterisks (apparently similar to modern [ ])

hark$^{txt}$: Reading of the Harklean text where there is also a reading in the margin

hark$^{marg:}$ Reading of the Harklean margin

sa Sahidic Coptic (cited with 𝔓)

bo Bohairic Coptic (cited with 𝔄)

arm Armenian version (related to 𝔥?)

geo Georgian version

eth Ethiopic version

slav Old Church Slavonic version

### Editions

**UBS** United Bible Societies third/fourth edition. Used in the form of the Nestle-Aland 27th edition

**WH** Westcott & Hort's text

**WH$^{txt}$** Westcott & Horts text where it disagrees with their margin

**WH$^{marg}$** Westcott & Horts margin where it disagrees with their main text

**HF** Hodges & Farstad's *The Greek New Testament According to the Majority Text*, second edition. It should be understood that the author regards this text as having no authority for the original text — but is important as an edition of the Byzantine text-type. In the relatively few cases where the Hodges-Farstad "first apparatus" is divided (meaning that the Byzantine text is not a unity), the symbol **HF$^{txt}$** is used for the reading they print in their text, while **HF$^{marg}$** refers to the reading they regard as being in the "minority" of the Majority Text.

**1**1 Παῦλος ἀπόστολος οὐκ ἀπ᾽ ἀνθρώπων οὐδὲ
δι᾽ ἀνθρώπου ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ
θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν,
2 καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοὶ ταῖς
ἐκκλησίαις τῆς Γαλατίας, 3 χάρις ὑμῖν καὶ
εἰρήνη ἀπὸ θεοῦ πατρὸς **καὶ κυρίου ἡμῶν**
Ἰησοῦ Χριστοῦ 4 τοῦ δόντος ἑαυτὸν **περὶ** τῶν
ἁμαρτιῶν ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ
αἰῶνος τοῦ ἐνεστῶτος πονηροῦ κατὰ τὸ
θέλημα τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν, 5 ᾧ ἡ δόξα
εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

6 Θαυμάζω ὅτι οὕτως ταχέως μετατίθεσθε
ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ
εἰς ἕτερον εὐαγγέλιον, 7 ὃ οὐκ ἔστιν ἄλλο, εἰ
μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς καὶ
θέλοντες μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ
Χριστοῦ. 8 ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ
οὐρανοῦ **ὑμῖν εὐαγγελίζηται** παρ᾽ ὃ
εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. 9 ὡς
προειρήκαμεν καὶ ἄρτι πάλιν λέγω, εἴ τις
ὑμᾶς εὐαγγελίζεται παρ᾽ ὃ παρελάβετε,
ἀνάθεμα ἔστω.

10 Ἄρτι γὰρ ἀνθρώπους πείθω ἢ τὸν θεόν;
ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν; εἰ ἔτι ἀνθρώποις
ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.
11 Γνωρίζω **δὲ** ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον
τὸ εὐαγγελισθὲν ὑπ᾽ ἐμοῦ ὅτι οὐκ ἔστιν κατὰ
ἄνθρωπον· 12 οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου
παρέλαβον αὐτὸ **οὐδὲ** ἐδιδάχθην ἀλλὰ δι᾽
ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ.

13 Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν
ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ᾽ ὑπερβολὴν
ἐδίωκον τὴν ἐκκλησίαν τοῦ θεοῦ καὶ
ἐπόρθουν αὐτήν, 14 καὶ προέκοπτον ἐν τῷ
Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ
γένει μου, περισσοτέρως ζηλωτὴς ὑπάρχων
τῶν πατρικῶν μου παραδόσεων. 15 ὅτε δὲ
**εὐδόκησεν** ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός
μου καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ
16 ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί, ἵνα
εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως
οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι 17 οὐδὲ
ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ
ἀποστόλους, ἀλλὰ ἀπῆλθον εἰς Ἀραβίαν καὶ
πάλιν ὑπέστρεψα εἰς Δαμασκόν. 18 Ἔπειτα
μετὰ **τρία ἔτη** ἀνῆλθον εἰς Ἱεροσόλυμα
ἱστορῆσαι Κηφᾶν καὶ ἐπέμεινα πρὸς αὐτὸν

1:3 • και κυριου ημων (𝔓•𝔒•𝔚•𝔎): 𝔓$^{46}$ B sa, 1739 1881, D F G am bam cav gran val, 𝔓$^{51}$ H, K L 049 223 1960 (**WH**$^{marg}$ [ημων]) **HF**; ημων και κυριου (𝔄+𝔥): ℵ A 33 81 256-365-2127, a b ful leg reg sanger, 330 P 326 1241$^{supp}$ 1962 2464, Ψ 056 0142, **UBS WH**$^{txt}$; και κυριου: 1319, 0150 0278 206

1:4 • περι (𝔄$^{pt}$• 𝔒•𝔚•𝔎$^{pt}$): 𝔓$^{46}$, ℵ* A, 1739 1881, D F G, K L Ψ 223, **WH**$^{marg}$ **HF**; υπερ (𝔄$^{pt}$+𝔥•𝔎$^{pt}$): B, ℵ$^{1}$ 33 81 1175 365-1319, 6, 𝔓$^{51}$ H 0278 326 1241$^{supp}$ 1505 2464, 049 056 0142 1960, **UBS WH**$^{txt}$

**1:4** • αιωνος του ενεστωτος: **HF** ενεστωτος αιωνος

1:6 • χριστου *rell* **WH HF** (D, 326 1241$^{supp}$ ιησου χριστου); omit 𝔓$^{46\text{-}vid}$, F* G a b, H$^{vid}$ [**UBS**]

1:8 • υμιν ευαγγελιζηται (𝔒): B, 1175, 1739 630 2200, H; ευαγγελιζηται υμιν (𝔥•𝔚$^{part}$•𝔎$^{part}$): 6, 33 256-263-1319-2127, D(* 330 ε. υμας) f vg, 945 (1962 ευαγγελιζηται ημιν), L 056 1960 **UBS HF**$^{marg}$; ευαγγελιζεται υμιν (𝔎$^{part}$): 1881, 365, P 075 436 1505 2344 2464, K 049 0142 223 **HF**$^{txt}$; ευαγγελισηται υμιν: ℵ$^{2}$ A 81, d, 326 (1241$^{supp}$ ε. ημιν) (**WH** [υμιν]); ευαγγελισηται: ℵ*, b; ευαγγελισηται (𝔚$^{part}$): F G a, Ψ; ευαγγελιζεται: 0150; υμιν ευαγγελισεται υμιν: 104

**1:10** • ει ετι: **HF** ει γαρ ετι

1:11 • δε (𝔄+𝔥 •𝔒•𝔎): 𝔓$^{46}$, ℵ$^{*,2}$ A 81 1175 256-263-365-1319-2127 bo, 1739 1881 6, D$^{1}$ b ful, 330 P 104 436 1962 2344 2464 geo$^{2}$, K L Ψ 049 056 0142 223 1960, **WH**$^{marg}$ **HF**; γαρ (𝔚): B sa, ℵ$^{1}$ 33, D* F G a d f am cav, **UBS WH**$^{txt}$; ουν 0278; *omit* arm geo$^{1}$ eth

1:12 • ουδε (𝔄+𝔥•𝔒•𝔚): ℵ A 33 81 1175 365-1319, 1739 1881, D* F G, P 0150 0278 104 436 1241$^{supp}$ 2464, Ψ, **WH**$^{marg}$; ουτε (𝔓•𝔎): 𝔓$^{46}$ B, D$^{1}$, 330 2344, K L 049 056 0142 223 1960, **UBS WH**$^{txt}$ **HF**

**1:12** • ιησου: **HF** *omits*

1:15 • ευδοκησεν (𝔓 • 𝔚): 𝔓$^{46}$ B, F G a b f vg 629, 0150 1505 pesh; ευδοκησεν ο θεος (𝔄+𝔥•𝔒•𝔎) sa, ℵ A 33 81 1175 256-263-365-1319-2127 bo, 1739 1881 6, D d, 330 P 0278 104 436 1241$^{s}$ 1962 2464 (hark *ο θεος*) arm eth geo slav, K L Ψ 049 056 0142 223 1960 (**UBS WH** [ο θεος]) **HF**

1:18 • τρια ετη (𝔄•𝔒): ℵ A 33 81, 1739 1881 630, P 0150 206 326 1241$^{supp}$ 2464, **WH**; ετη τρια (𝔓•𝔥•𝔚•𝔎):𝔓$^{46}$ B, 1175 365-1319, D (F G αιτη *(sic)* γ), 330 0278 104 1505 2344; K L Ψ 049 056 0142 223 1960; **UBS HF**

**1:18** • κηφαν: **HF** πετρον

ἡμέρας δεκαπέντε, 19 ἕτερον δὲ τῶν ἀποστόλων
οὐκ εἶδον εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου.
20 ἃ δὲ γράφω ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ θεοῦ ὅτι οὐ
ψεύδομαι. 21 ἔπειτα ἦλθον εἰς τὰ κλίματα τῆς
Συρίας καὶ τῆς Κιλικίας· 22 ἤμην δὲ ἀγνοούμενος
τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας ταῖς
ἐν Χριστῷ. 23 μόνον δὲ ἀκούοντες ἦσαν ὅτι Ὁ
διώκων ἡμᾶς ποτε νῦν εὐαγγελίζεται τὴν πίστιν
ἥν ποτε ἐπόρθει, 24 καὶ ἐδόξαζον ἐν ἐμοὶ τὸν
θεόν.

**2** 1 Ἔπειτα διὰ δεκατεσσάρων ἐτῶν πάλιν
ἀνέβην εἰς Ἱεροσόλυμα μετὰ Βαρναβᾶ
συμπαραλαβὼν καὶ Τίτον· 2 ἀνέβην δὲ κατὰ
ἀποκάλυψιν· καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον
ὃ κηρύσσω ἐν τοῖς ἔθνεσιν, κατʼ ἰδίαν δὲ τοῖς
δοκοῦσιν, μή πως εἰς κενὸν τρέχω ἢ ἔδραμον. 3
ἀλλʼ οὐδὲ Τίτος ὁ σὺν ἐμοί, Ἕλλην ὤν,
ἠναγκάσθη περιτμηθῆναι· 4 διὰ δὲ τοὺς
παρεισάκτους ψευδαδέλφους, οἵτινες
παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν
ἡμῶν ἣν ἔχομεν ἐν Χριστῷ Ἰησοῦ, ἵνα ἡμᾶς
καταδουλώσουσιν, 5 οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν
τῇ ὑποταγῇ, ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου
διαμείνῃ πρὸς ὑμᾶς. 6 ἀπὸ δὲ τῶν δοκούντων
εἶναί τι, — ὁποῖοί ποτε ἦσαν οὐδέν μοι διαφέρει·
πρόσωπον **θεὸς** ἀνθρώπου οὐ λαμβάνει — ἐμοὶ
γὰρ οἱ δοκοῦντες οὐδὲν προσανέθεντο, 7 ἀλλὰ
τοὐναντίον ἰδόντες ὅτι πεπίστευμαι τὸ
εὐαγγέλιον τῆς ἀκροβυστίας καθὼς Πέτρος τῆς
περιτομῆς, 8 ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς
ἀποστολὴν τῆς περιτομῆς ἐνήργησεν καὶ ἐμοὶ εἰς
τὰ ἔθνη, 9 καὶ γνόντες τὴν χάριν τὴν δοθεῖσάν
μοι, Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης, οἱ
δοκοῦντες στῦλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ
Βαρναβᾷ κοινωνίας, ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ
δὲ εἰς τὴν περιτομήν· 10 μόνον τῶν πτωχῶν ἵνα
μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο
ποιῆσαι.

11 Ὅτε δὲ ἦλθεν Κηφᾶς εἰς Ἀντιόχειαν, κατὰ
πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος
ἦν. 12 πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου
μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ **ἦλθεν**,
ὑπέστελλεν καὶ ἀφώριζεν ἑαυτὸν φοβούμενος
τοὺς ἐκ περιτομῆς. 13 καὶ συνυπεκρίθησαν αὐτῷ
**οἱ λοιποὶ** Ἰουδαῖοι, ὥστε καὶ Βαρναβᾶς
συναπήχθη αὐτῶν τῇ ὑποκρίσει. 14 ἀλλʼ ὅτε εἶδον
ὅτι οὐκ ὀρθοποδοῦσιν πρὸς τὴν ἀλήθειαν τοῦ

1:21 • της κιλικιας (𝔥•𝔚•𝔎): B, A 81 1175 365-1319, 1739, D F G, P 104 206 1241$^{s}$ 2344 2464, K L Ψ 049 056 0142 223 1860 **UBS [WH] HF**; κιλικιας (𝔄•𝔒?): ℵ 33, 1881, 330 075 1505-1611

**2:4** • καταδουλωσουσιν: **HF** καταδουλωσωνται

2:6 • θεος (𝔒•(𝔚)•𝔎): B, C, 1739 1881 (D$^{*,2}$ F G θεος ανθρωπου προσωπον) D$^{1}$, 075 0150 206 436 1505 (2344), K L 049 (056 0142 προσωπον δε θεος ανθρωπου) 223 1960 **HF**; ο θεος (𝔄+𝔥): P$^{46}$, ℵ A 33 81 1175 365-1319, 330 P 0278 104 1241$^{s}$, (Ψ προσωπου ανθρωπου ο θεος) (**UBS WH** [ο] θεος)

**2:8** • και εμοι: **HF$^{marg}$** καμοι

**2:9** • ημεις: **HF** εμεις μεν

**2:11** • κεφας: **HF** πετρος

2:12 • ηλθεν (𝔓•𝔄$^{pt}$•𝔚): 𝔓$^{46}$ B, ℵ 33 1175$^{apud\ UBS4}$, D* F G b d, 330-451-2492 geo$^{1}$; ηλθον (𝔄$^{pt}$+𝔥•𝔒•𝔎): sa, A C 81 bo 256-263-365-1319-2127, 1739 1881 6, D$^{2}$ a f r vg, P 075 0150 0278 104 206 436 1505 2344 2464 pesh hark arm eth geo$^{2}$ slav; K L Ψ 049 056 0142 223 1960 **UBS WH HF**

2:13 • οι λοιποι (𝔓•𝔒): 𝔓$^{46}$ B, bo, 1739 1881 6 630, a f vg; και οι λοιποι (𝔄+𝔥•𝔚•𝔎): sa, ℵ A C 33 81 1175 365-1319 D F G b r, 330 H P 075 0150 104 206 436 1505 2344 2464, K L Ψ 049 056 0142 223 1960 **[UBS] [WH] HF**

εὐαγγελίου, εἶπον τῷ Κηφᾷ ἔμπροσθεν
πάντων, Εἰ σὺ Ἰουδαῖος ὑπάρχων ἐθνικῶς καὶ
οὐχὶ Ἰουδαϊκῶς ζῇς, πῶς τὰ ἔθνη ἀναγκάζεις
Ἰουδαΐζειν;

15 Ἡμεῖς φύσει Ἰουδαῖοι καὶ οὐκ ἐξ ἐθνῶν
ἁμαρτωλοί· 16 **εἰδότες** ὅτι οὐ δικαιοῦται
ἄνθρωπος ἐξ ἔργων νόμου ἐὰν μὴ διὰ πίστεως
Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς **Ἰησοῦν Χριστὸν**
ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως
Χριστοῦ καὶ οὐκ ἐξ ἔργων νόμου, ὅτι ἐξ
ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σάρξ.
17 εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ
εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί, ἆρα Χριστὸς
ἁμαρτίας διάκονος; μὴ γένοιτο. 18 εἰ γὰρ ἃ
κατέλυσα ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην
ἐμαυτὸν συνιστάνω. 19 ἐγὼ γὰρ διὰ νόμου
νόμῳ ἀπέθανον, ἵνα θεῷ ζήσω. Χριστῷ
συνεσταύρωμαι· 20 ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν
ἐμοὶ Χριστός· ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει
ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀγαπήσαντός με
καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. 21 οὐκ
ἀθετῶ τὴν χάριν τοῦ θεοῦ· εἰ γὰρ διὰ νόμου
δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανεν.

**3** 1 Ὦ ἀνόητοι Γαλάται, τίς ὑμᾶς
ἐβάσκανεν, οἷς κατ᾽ ὀφθαλμοὺς Ἰησοῦς
Χριστὸς προεγράφη ἐσταυρωμένος; 2 τοῦτο
μόνον θέλω μαθεῖν ἀφ᾽ ὑμῶν· ἐξ ἔργων νόμου
τὸ πνεῦμα ἐλάβετε ἢ ἐξ ἀκοῆς πίστεως;
3 οὕτως ἀνόητοί ἐστε, ἐναρξάμενοι πνεύματι
νῦν σαρκὶ ἐπιτελεῖσθε; 4 τοσαῦτα ἐπάθετε
εἰκῇ; εἴ γε καὶ εἰκῇ. 5 ὁ οὖν ἐπιχορηγῶν ὑμῖν
τὸ πνεῦμα καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν, ἐξ
ἔργων νόμου ἢ ἐξ ἀκοῆς πίστεως; 6 καθὼς
Ἀβραὰμ ἐπίστευσεν τῷ θεῷ, καὶ ἐλογίσθη
αὐτῷ εἰς δικαιοσύνην· 7 Γινώσκετε ἄρα ὅτι
οἱ ἐκ πίστεως, οὗτοι **εἰσιν υἱοί** Ἀβραάμ.
8 προϊδοῦσα δὲ ἡ γραφὴ ὅτι ἐκ πίστεως
δικαιοῖ τὰ ἔθνη ὁ θεός, προευηγγελίσατο τῷ
Ἀβραὰμ ὅτι Ἐνευλογηθήσονται ἐν σοὶ πάντα
τὰ ἔθνη· 9 ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται
σὺν τῷ πιστῷ Ἀβραάμ.

10 ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσίν, ὑπὸ
κατάραν εἰσίν· γέγραπται γὰρ ὅτι
Ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει πᾶσιν τοῖς
γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ
ποιῆσαι αὐτά. 11 ὅτι δὲ ἐν νόμῳ οὐδεὶς
δικαιοῦται παρὰ τῷ θεῷ δῆλον, ὅτι Ὁ δίκαιος

**2:14** • κηφα: **HF** πετρω

2:14 • και ουχι ιουδαικως ζης (**WH**$^{txt}$ ουκ, **WH**$^{marg}$ “ουχ MSS”): **HF** ζης και ουκ ιουδαικως

**2:14** • πως: **HF** τι

2:16 • ειδοτες (𝔄$^{pt}$•𝔒•𝔎): 𝔓$^{46}$, A 33 365, 1739 1881, D$^{2}$, P 0150 0278* 1505 hark, K Ψ 049 056 0142 1960 **HF**$^{txt}$; ειδοτες δε (𝔄$^{pt}$•𝔚): B, ℵ C 81 1175 1319, D* F G, 330 H 075 0278$^{c}$ 104 436 1241$^{supp}$ 2344 2464, L$^{apud\ AP}$, (**UBS WH** [δε]) **HF**$^{marg}$; ειδοτες ουν 483 223 **HF**$^{marg}$

2:16 • ιησου χριστου (𝔄$^{pt}$+ƕ•𝔒•𝔚•𝔎): 𝔓$^{46}$, ℵ C 81 1175 365-1319, 1739 1881 6, 330 H P 0278 104 436 1241$^{supp}$ 2344 2464, K L Ψ 049 056 0142 223 1960, **UBS HF**; χριστου ιησου (𝔄$^{pt}$): B, A 33, **WH**

2:16 • ιησουν χριστον (𝔓•𝔒): 𝔓$^{46}$ B, 33 81 1175, 1739 1881 630, a d, H 1241$^{supp}$ 1505 pesh hark, **WH**$^{marg}$; χριστον ιησουν (𝔄+ƕ•𝔚•𝔎): ℵ A C I$^{vid}$ 365-1319, D F G b f vg, 330 P 075 0150 0278 104 436 2344 2464, K L Ψ 049 056 0142 223 1960, **UBS WH**$^{txt}$ **HF**

**2:16** • οτι εξ εργων νομου ου δικαιωθησεται : **HF** διοτι ου δικαιωθησεται εξ εργων νομου

**2:18** • συνιστανω: **HF** συνιστημι

**3:1** • εβασκανεν: **HF**$^{txt}$ εβασκανε τη αληθεια μη πειθεσθαι; **HF**$^{marg}$ εβασκηνε τη αληθεια μη πειθεσθαι

**3:1** • προσεγραφη: **HF**$^{txt}$ προσεγραφη εν υμιν

3:7 • εισιν υιοι (𝔄$^{pt}$+ƕ•𝔒•𝔚•𝔎): ℵ$^{2}$ A C 33 1175 365-1319, 1739 1881 6, D F G a b d f vg, 330 P 075 0150 104 206 436 1505 2344, K (L εισιν ο υιοι) 049 056 0142 223 1960 **HF**; υιοι εισιν (𝔓): 𝔓$^{46}$ B, ℵ* 81, 326 1241$^{s}$ 2464, Ψ **UBS WH**

**3:10** • οτι: **HF** *omits*

**3:10** • πασιν: **HF** εν πασι

ἐκ πίστεως ζήσεται· 12 ὁ δὲ νόμος οὐκ ἔστιν
ἐκ πίστεως, ἀλλ᾽ Ὁ ποιήσας αὐτὰ ζήσεται ἐν
αὐτοῖς. 13 Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς
κατάρας τοῦ νόμου γενόμενος ὑπὲρ ἡμῶν
κατάρα, ὅτι γέγραπται, Ἐπικατάρατος πᾶς ὁ
κρεμάμενος ἐπὶ ξύλου, 14 ἵνα εἰς τὰ ἔθνη ἡ
εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷ
Ἰησοῦ, ἵνα τὴν ἐπαγγελίαν τοῦ πνεύματος
λάβωμεν διὰ τῆς πίστεως.

15 Ἀδελφοί, κατὰ ἄνθρωπον λέγω· ὅμως
ἀνθρώπου κεκυρωμένην διαθήκην οὐδεὶς
ἀθετεῖ ἢ ἐπιδιατάσσεται. 16 τῷ δὲ Ἀβραὰμ
ἐρρέθησαν αἱ ἐπαγγελίαι καὶ τῷ σπέρματι
αὐτοῦ. οὐ λέγει, Καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ
πολλῶν, ἀλλ᾽ ὡς ἐφ᾽ ἑνός, Καὶ τῷ σπέρματί
σου, ὅς ἐστιν Χριστός. 17 τοῦτο δὲ λέγω·
διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ θεοῦ ὁ
μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη γεγονὼς
νόμος οὐκ ἀκυροῖ εἰς τὸ καταργῆσαι τὴν
ἐπαγγελίαν. 18 εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία,
οὐκέτι ἐξ ἐπαγγελίας· τῷ δὲ Ἀβραὰμ δι᾽
ἐπαγγελίας κεχάρισται ὁ θεός.

19 Τί οὖν ὁ νόμος; τῶν παραβάσεων χάριν
προσετέθη, ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ᾧ
ἐπήγγελται, διαταγεὶς δι᾽ ἀγγέλων ἐν χειρὶ
μεσίτου. 20 ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν, ὁ δὲ
θεὸς εἷς ἐστιν. 21 Ὁ οὖν νόμος κατὰ τῶν
ἐπαγγελιῶν τοῦ θεοῦ; μὴ γένοιτο. εἰ γὰρ
ἐδόθη νόμος ὁ δυνάμενος ζῳοποιῆσαι, ὄντως
ἐκ νόμου **ἦν ἂν** ἡ δικαιοσύνη· 22 ἀλλὰ
συνέκλεισεν ἡ γραφὴ τὰ πάντα ὑπὸ
ἁμαρτίαν, ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ
Χριστοῦ δοθῇ τοῖς πιστεύουσιν.

23 Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον
ἐφρουρούμεθα συγκλειόμενοι εἰς τὴν
μέλλουσαν πίστιν ἀποκαλυφθῆναι, 24 ὥστε ὁ
νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν,
ἵνα ἐκ πίστεως δικαιωθῶμεν· 25 ἐλθούσης δὲ
τῆς πίστεως οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν.
26 Πάντες γὰρ υἱοὶ θεοῦ ἐστε διὰ τῆς πίστεως
ἐν Χριστῷ Ἰησοῦ· 27 ὅσοι γὰρ εἰς Χριστὸν
ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. 28 οὐκ ἔνι
Ἰουδαῖος οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ
ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες
γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. 29 εἰ δὲ
ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστέ,
κατ᾽ ἐπαγγελίαν κληρονόμοι.

**3:10** • αυτα: **HF** αυτα ανθρωπος

**3:13** • οτι γεγραπται: **HF** γεγραπται γαρ

3:14 • εν χριστω ιησου 𝔓[46] *rell* **UBS WH**[marg] **HF**; εν ιησου χριστω B pesh **WH**[txt]; εν ιησου χριστου ℵ

**3:17** • θεου: **HF** θεου εις χριστον

**3:17** • τετρακοσια και τριακοντα ετη: **HF** ετη τετρακοσια και τριακοντα

3:19 • ου 𝔓[46] *rell* **UBS WH**[marg] **HF**; αν B, 33 1175, 0278 2464 **WH**[txt]; ουν 81

3:21 • του θεου ℵ *rell* (**UBS WH** [του θεου]) **HF**; θεου F G; του χριστου 104 459; *omit* 𝔓[46] B d 1959 (eth)

3:21 • εκ νομου ην αν (𝔄[pt]+𝔥•𝔒): (𝔓[46] εν νομω ην αν), ℵ 33 1175 365-1319, 1739 630, 0278 104 436 2344, Ψ[c] (**WH**[marg] [αν]); εκ νομου αν ην (𝔄[pt]): (B **WH**[txt] εν νομω αν ην) A C 81 1241[supp] 2464 **UBS**; εκ νομου ην 1881, D*; εκ νομου F G d; εκ νομου αν 0150 206, Ψ*; αν εκ νομου ην (𝔎): D[2], P, K L 049 056 0142 223 1960 **HF**; εκ νομου ων 330

**3:23** • συγκλειομενοι: **HF** συγκεκλεισμενοι

**3:29** • κατ: **HF** και κατ

**4** 1 Λέγω δέ, ἐφ᾽ ὅσον χρόνον ὁ κληρονόμος
νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου κύριος
πάντων ὤν, 2 ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶν καὶ
οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός.
3 οὕτως καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ
στοιχεῖα τοῦ κόσμου **ἦμεν** δεδουλωμένοι·
4 ὅτε δὲ ἦλθεν τὸ πλήρωμα τοῦ χρόνου,
ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ,
γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον,
5 ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν
υἱοθεσίαν ἀπολάβωμεν. 6 Ὅτι δέ ἐστε υἱοί,
ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ
αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν κρᾶζον, Αββα ὁ
πατήρ. 7 ὥστε οὐκέτι εἶ δοῦλος ἀλλὰ υἱός· εἰ
δὲ υἱός, καὶ κληρονόμος διὰ θεοῦ. 8 Ἀλλὰ
τότε μὲν οὐκ εἰδότες θεὸν ἐδουλεύσατε τοῖς
φύσει μὴ οὖσιν θεοῖς· 9 νῦν δὲ γνόντες θεόν,
μᾶλλον δὲ γνωσθέντες ὑπὸ θεοῦ, πῶς
ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ
στοιχεῖα οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε;
10 ἡμέρας παρατηρεῖσθε καὶ μῆνας καὶ
καιροὺς καὶ ἐνιαυτούς, 11 φοβοῦμαι ὑμᾶς μή
πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς.

12 Γίνεσθε ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς,
ἀδελφοί, δέομαι ὑμῶν. οὐδέν με ἠδικήσατε·
13 οἴδατε δὲ ὅτι δι᾽ ἀσθένειαν τῆς σαρκὸς
εὐηγγελισάμην ὑμῖν τὸ πρότερον, 14 καὶ τὸν
πειρασμὸν ὑμῶν ἐν τῇ σαρκί μου οὐκ
ἐξουθενήσατε οὐδὲ ἐξεπτύσατε, ἀλλὰ ὡς
ἄγγελον θεοῦ ἐδέξασθέ με, ὡς Χριστὸν
Ἰησοῦν. 15 ποῦ οὖν ὁ μακαρισμὸς ὑμῶν;
μαρτυρῶ γὰρ ὑμῖν ὅτι εἰ δυνατὸν τοὺς
ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἐδώκατέ μοι.
16 ὥστε ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν;
17 ζηλοῦσιν ὑμᾶς οὐ καλῶς, ἀλλὰ ἐκκλεῖσαι
ὑμᾶς θέλουσιν, ἵνα αὐτοὺς ζηλοῦτε· 18 καλὸν
δὲ ζηλοῦσθαι ἐν καλῷ πάντοτε καὶ μὴ μόνον
ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς. 19 τέκνα μου,
οὓς πάλιν ὠδίνω μέχρις οὗ μορφωθῇ Χριστὸς
ἐν ὑμῖν· 20 ἤθελον δὲ παρεῖναι πρὸς ὑμᾶς ἄρτι
καὶ ἀλλάξαι τὴν φωνήν μου, ὅτι ἀποροῦμαι
ἐν ὑμῖν.

21 Λέγετέ μοι, οἱ ὑπὸ νόμον θέλοντες
εἶναι, τὸν νόμον οὐκ ἀκούετε; 22 γέγραπται
γὰρ ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς
παιδίσκης καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. 23 ἀλλ᾽ ὁ

4:3 • ημεν (𝔄$^{pt}$•𝔒•𝔎): B, A C, D$^{1}$, 330 P 075 0150 104 436 1241$^{s}$ 1505 2344 2464, K L Ψ 049 056 0142 223 1960 **HF**; ημεθα (𝔄$^{pt}$+𝔥•𝔚): 𝔓$^{46}$, ℵ 33 81 1175 365-1319, D* F G 0278 **UBS WH**

**4:4** • γενομενον: **HF**$^{marg}$ γεννωμενον

**4:6** • ημων: **HF** υμων

**4:7** • δια θεου: **HF** θεου δια χριστου

**4:8** • φυσει μη: **HF** μη φυσαι

**4:9** • δουλευειν 𝔓$^{46}$ *rell* **UBS HF**; δουλευσαι B ℵ **WH**; δουλεβειν 642

**4:14** • υμων: **HF** μου

**4:14** • εν τη: **HF** του εν τη

**4:15** • που: **HF** τις

**4:15** • ουν: **HF** ουν ην

**4:15** • εδωκατε: **HF** αν εδωκατε

**4:18** • ζηλουσθαι: **HF** το ζηλουσθαι

4:19 τεκνα B, ℵ*, 1739, D* F G, 062 323 **UBS WH**$^{marg}$; τεκνια ℵ$^{2}$ A C 33 81 1175 365-1319, D$^{2}$ *rell* **WH**$^{txt}$ **HF**

**4:19** • μεχρις: **HF** αχρις

μὲν ἐκ τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται, ὁ δὲ ἐκ τῆς ἐλευθέρας **διὰ τῆς** ἐπαγγελίας. 24 ἅτινά ἐστιν ἀλληγορούμενα· αὗται γάρ εἰσιν δύο διαθῆκαι, μία μὲν ἀπὸ ὄρους Σινᾶ εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἁγάρ. 25 τὸ δὲ Ἁγὰρ Σινᾶ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ· συστοιχεῖ δὲ τῇ νῦν Ἰερουσαλήμ, δουλεύει γὰρ μετὰ τῶν τέκνων αὐτῆς. 26 ἡ δὲ ἄνω Ἰερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶν μήτηρ ἡμῶν· 27 γέγραπται γάρ,

Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα,
ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα·
ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου
μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

28 ὑμεῖς δέ, ἀδελφοί, κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα ἐστέ. 29 ἀλλ᾽ ὥσπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς ἐδίωκεν τὸν κατὰ πνεῦμα, οὕτως καὶ νῦν. 30 ἀλλὰ τί λέγει ἡ γραφή; Ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας. 31 διό, ἀδελφοί, οὐκ ἐσμὲν παιδίσκης τέκνα ἀλλὰ τῆς ἐλευθέρας. **5** 1 τῇ ἐλευθερίᾳ ἡμᾶς Χριστὸς ἠλευθέρωσεν· στήκετε οὖν καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε.

2 Ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. 3 μαρτύρομαι **δὲ** παντὶ ἀνθρώπῳ περιτεμνομένῳ ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι. 4 κατηργήθητε ἀπὸ Χριστοῦ, οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε. 5 ἡμεῖς γὰρ πνεύματι ἐκ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα. 6 ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει οὔτε ἀκροβυστία ἀλλὰ πίστις δι᾽ ἀγάπης ἐνεργουμένη.

7 Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐνέκοψεν τῇ ἀληθείᾳ μὴ πείθεσθαι; 8 ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς. 9 μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. 10 ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν κυρίῳ ὅτι οὐδὲν ἄλλο φρονήσετε· ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρίμα, ὅστις ἐὰν ᾖ. 11 ἐγὼ δέ, ἀδελφοί, εἰ **περιτομὴν** κηρύσσω, τί ἔτι διώκομαι; ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ σταυροῦ. 12 ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς.

4:23 • μεν ℵ *rell* **UBS [WH] HF**; *omit* 𝔓46 B, f vg

4:23 • δια της (𝔥•𝔒•𝔚•𝔎): B, 1175 365-1319, 1739 1881, D F G, P 062 075 0278 436 1505 2344 2464, K L 049 056 0142 223 1960 **WHmarg HF**; δι (𝔄): 𝔓46, ℵ A C 33 81, 0150 104 216* 440 1241s, Ψ **UBS WHtxt**; κατ 323 945

**4:25** • δε αγαρ: **HF** γαρ αγαρ

**4:25** • δουλευει γαρ: **HF** δουλευει δε

**4:26** • ημων: **HF** παντων ημων

4:28 • υμεισ δε... εστε (𝔓•𝔥•𝔒•𝔚): 𝔓46 B sa, 33 1175 256-365-1319-2127, 1739 1881 6 424c, D* F G b d, 0278 1912 **UBS WHmarg**; ημεισ δε... εσμεν (𝔄•𝔎): ℵ A C 81 bo 263, D2 a f r am cav ful, 330 P 062 075 0150 104 (206 omits δε) 436 1241supp 1505 1962 2344 2464 arm geo slav, K L Ψ 049 056 0142 223 1960 **WHtxt HF**

**4:30** • κληρονομησει: **HF** κληρονομηση

**4:31** • διο: **HF** αρα

**5:1** • ημας χριστος: **HF** ουν η χριστος ημας

**5:1** • ουν: **HF** *omits*

5:3 • δε (𝔒•𝔚): 1739 1881, D* F G a d ulm*, 206 1799 arm; δε παλιν (𝔓•𝔄+𝔥•𝔎): 𝔓46 B,ℵ A C 33 81 1175 365-1319, D2 am cav ful, 330 P 075 0150 0278 104 436 1241supp 1505 2344 2464, K L Ψ 049 056 0142 223 1960 **UBS WH HF**

**5:4** • χριστου: **HF** του χριστου

**5:4** • εξεπεσατε: **HFtxt** εξεπεσετε

5:6 • ιησου 𝔓46 *rell* **UBS HF**; *omit* B (**WH** [ιησου])

5:7 • τη (𝔄pt+𝔥•𝔒•𝔚•𝔎): 𝔓46, ℵ2 C 33 81 1175 365-(1319), D F G, 330 P 075 0150 0278 104 436 1241supp 1505 2344 2464, K L Ψ 049 056 0142 223 1960 **[UBS] HF**; *omit:* (𝔄pt): B, ℵ* A **WH**

**5:10** • εαν: **HF** αν

5:11 • περιτομην (𝔒•𝔚): sa, 1739 1881 6, D* F G a b d bam, 0278 483* arm, 223; περιτομην ετι (𝔓•𝔄+𝔥•𝔎): 𝔓46 B, ℵ A C 33 81 1175 365-1319, D2 am cav ful, (330 περιτομη ετι) P 075 0150 194 206 436 1241supp 1505 2344 2464, K L Ψ 049 056 0142 1960 **UBS WH HF**

13 Ὑμεῖς γὰρ ἐπ’ ἐλευθερίᾳ
ἐκλήθητε, ἀδελφοί· μόνον μὴ τὴν
ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί,
ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε
ἀλλήλοις. 14 ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ
λόγῳ πεπλήρωται, ἐν τῷ· Ἀγαπήσεις
τὸν πλησίον σου ὡς σεαυτόν. 15 εἰ δὲ
ἀλλήλους δάκνετε καὶ κατεσθίετε,
βλέπετε μὴ ὑπ’ ἀλλήλων ἀναλωθῆτε.
16 Λέγω δέ, πνεύματι περιπατεῖτε καὶ
ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε.
17 ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ
πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς
σαρκός, ταῦτα γὰρ ἀλλήλοις
ἀντίκειται, ἵνα μὴ ἃ **ἂν** θέλητε
ταῦτα ποιῆτε. 18 εἰ δὲ πνεύματι
ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον.
19 φανερὰ δέ ἐστιν τὰ ἔργα τῆς
σαρκός, ἅτινά ἐστιν πορνεία,
ἀκαθαρσία, ἀσέλγεια,
20 εἰδωλολατρία, φαρμακεία, ἔχθραι,
ἔρις, ζῆλος, θυμοί, ἐριθεῖαι,
διχοστασίαι, αἱρέσεις, 21 **φθόνοι,**
**φόνοι,** μέθαι, κῶμοι καὶ τὰ ὅμοια
τούτοις, ἃ προλέγω ὑμῖν καθὼς
προεῖπον ὅτι οἱ τὰ τοιαῦτα
πράσσοντες βασιλείαν θεοῦ οὐ
κληρονομήσουσιν. 22 Ὁ δὲ καρπὸς
τοῦ πνεύματός ἐστιν ἀγάπη χαρά
εἰρήνη, μακροθυμία, χρηστότης
ἀγαθωσύνη, πίστις 23 πραΰτης
ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ
ἔστιν νόμος. 24 οἱ δὲ τοῦ Χριστοῦ
Ἰησοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν
τοῖς παθήμασιν καὶ ταῖς ἐπιθυμίαις.
25 εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ
στοιχῶμεν. 26 μὴ γινώμεθα
κενόδοξοι, ἀλλήλους προκαλούμενοι,
ἀλλήλοις φθονοῦντες.

**6** 1 Ἀδελφοί, ἐὰν καὶ προλημφθῇ
ἄνθρωπος ἔν τινι παραπτώματι,
ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε
τὸν τοιοῦτον ἐν πνεύματι πραΰτητος,
σκοπῶν σεαυτὸν μὴ καὶ σὺ πειρασθῇ
ς. 2 Ἀλλήλων τὰ βάρη βαστάζετε καὶ
οὕτως **ἀναπληρώσατε** τὸν νόμον τοῦ
Χριστοῦ. 3 εἰ γὰρ δοκεῖ τις εἶναί τι

**5:14** • πεπληρωται: **HF** πληтουται

**5:14** • σεαυτου: **HF$^{marg}$** εαυτου

**5:17** • γαρ αλληλοις αντικειται: **HF** δε αντικετιαι αλληλοις

5:17 • α αν (𝕶): C$^{2}$ 1319, D$^{1}$, P 075 0122$^{c}$ 104 436 2344, K L Ψ 049 056 0142 223 1960 **HF**; α εαν (𝕬$^{pt}$): B$^{1}$, ℵ A 81, 330 0122*$^{vid}$ 0278 206 **UBS WH**; ο αν (𝖂): D* F G; α C* 1739; αν B*

**5:19** • πορνεια: **HF** μοιχεια πορνεια

5:20 • ερις (𝕬$^{pt}$•𝕺•𝕶$^{pt}$): B, ℵ A, 1739* 1881 630, D*, 326 614 1505 pesh arm, 056 0142 223 1960 **UBS WH$^{txt}$ HF$^{txt}$**; ερεις (𝖍•𝕶$^{pt}$): C 81 1175 365-1319, D$^{1}$ F G a b d f vg, 1739$^{marg}$, 330 P 075 0122 0150 0278 104 206 436 1241$^{supp}$ 2344 2464 hark, K L Ψ 049 **WH$^{marg}$ HF$^{marg}$**

5:20 • ζηλος (𝕺): B, 33, 1739 1881, D*, P pesh arm **UBS WH$^{txt}$**; ζηλους F G; ζηλοι (𝕬$^{pt}$•𝕶): sa, ℵ C 81 1175 365-1319 bo, D$^{1}$, 330 075 0122 0150 0278 104 436 1241$^{supp}$ 1505 2344 2464 hark, K L Ψ 049 056 0142 223 **WH$^{marg}$ HF**; omit ζηλ... αιρεσεις 206 1799*, 1960; *illegible* A

5:21 • φθονοι φονοι (𝕬$^{pt}$+𝖍•𝕺•𝖂•𝕶): A C 1175 256$^{c}$-263-365-1319-2127 bo, 1739 1881 6, D F G a b d f, 330 P 075 0122 0150 0278 104 206 436 1241$^{supp}$ 1505 2344 2464 (pesh) hark arm geo$^{2}$ eth slav, K L Ψ 049 (056 0142 φονοι φθονοι) 223 1960 **HF**; φθονοι (𝕻•𝕬$^{pt}$): 𝔓$^{46}$ B sa, ℵ 33 81, 323 876 945 geo$^{1}$ **UBS WH**

5:21 • καθως (𝕻•𝕺): 𝔓$^{46}$ B sa, (ℵ καθως ειπον), (1739 καθως προειπομεν) 1881 6, (F G προειρηκα) **UBS WH$^{txt}$**; καθως και (𝕬$^{pt}$+𝖍•𝕶): A C 33 81 1175 365-1319 bo, D(* 0278 καθως και προειρηκα), P 075 0150 104 436 1241$^{supp}$ 1505 2344 2464, K L Ψ 049 056 0142 223 1960 **WH$^{marg}$ HF**

**5:23** • πραυτης: **HF** πραοτες

5:24 • χριστου ιησου (𝕬$^{pt}$+𝖍): B sa, ℵ$^{1}$ A C 33 1175 256-263-1319-2127 bo, 1739, 330 P 075 0122$^{1}$ 0150 0278 104* 436 1241$^{supp}$ 1962$^{c}$ geo$^{1}$ slav, Ψ (**UBS** [ιησου]) **WH**; χριστου (𝖂•𝕶): P$^{46}$, 81 365, D (F G χριστου εντες *(sic.))* a b d f vg, 0122*$^{,2}$ 104$^{c}$ 206 1505 2344 2464 arm geo$^{2}$, K L 049 056 0142 223 1960 **HF**; κυριου χριστου ιησου ℵ; κυριου χρισου 1881

**5:26** • προκαλουμενοι: **HF$^{marg}$** προσκαλουμενοι

**5:26** • αλλησοις: **HF$^{marg}$** αλληλους

**6:1** • πραυτητος: **HF** πραοτητος

6:2 • αναπληρωσατε (𝕬+𝖍•𝕺•𝕶): ℵ A C 33 81 1175 256-263-365-1319-2127, 1739 1881 6, D, 330 P 075 0122 0150 104 206 436 1241$^{supp}$ 1505 2464 arm geo, K L Ψ (049 *hapl.)* 056 0142 223 1960 **WH HF**; αναπληρωσετε (𝖂$^{pt}$): B sa, bo, F G a b d f vg, 323 1992 eth slav **UBS**; αποπληρωσετε 𝔓$^{46}$

**6:3** • φρεναπατα εαυτου: **HF** εαυτου φρεναπατα

μηδὲν ὤν, φρεναπατᾷ ἑαυτόν, 4 τὸ δὲ
ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος, καὶ
τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει
καὶ οὐκ εἰς τὸν ἕτερον· 5 ἕκαστος γὰρ τὸ
ἴδιον φορτίον βαστάσει.

6 Κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν
λόγον τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς.
7 Μὴ πλανᾶσθε, θεὸς οὐ μυκτηρίζεται. ὃ
γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ
θερίσει· 8 ὅτι ὁ σπείρων εἰς τὴν σάρκα
ἑαυτοῦ ἐκ τῆς σαρκὸς θερίσει φθοράν, ὁ
δὲ σπείρων εἰς τὸ πνεῦμα ἐκ τοῦ
πνεύματος θερίσει ζωὴν αἰώνιον. 9 τὸ δὲ
καλὸν ποιοῦντες μὴ ἐγκακῶμεν, καιρῷ
γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι. 10 ἄρα
οὖν ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ
ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς
τοὺς οἰκείους τῆς πίστεως.

11 Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν
ἔγραψα τῇ ἐμῇ χειρί. 12 ὅσοι θέλουσιν
εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι
ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον
ἵνα τῷ σταυρῷ τοῦ Χριστοῦ μὴ
διώκωνται. 13 οὐδὲ γὰρ οἱ περιτεμνόμενοι
αὐτοὶ νόμον φυλάσσουσιν ἀλλὰ θέλουσιν
ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ
σαρκὶ καυχήσωνται. 14 ἐμοὶ δὲ μὴ γένοιτο
καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ
κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ ἐμοὶ
κόσμος ἐσταύρωται κἀγὼ κόσμῳ. 15 οὔτε
γὰρ περιτομή τί ἐστιν οὔτε ἀκροβυστία
ἀλλὰ καινὴ κτίσις. 16 καὶ ὅσοι τῷ κανόνι
τούτῳ **στοιχοῦσιν**, εἰρήνη ἐπ᾽ αὐτοὺς καὶ
ἔλεος καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ θεοῦ.

17 Τοῦ λοιποῦ κόπους μοι μηδεὶς
παρεχέτω· ἐγὼ γὰρ τὰ στίγματα τοῦ
Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω.

18 Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν,
ἀδελφοί· ἀμήν.

6:4 • εκαστος (𝔄+𝔥•𝔒•𝔚•𝔎): ℵ *rell* **UBS** **HF**; *omit* (𝔓): 𝔓$^{46}$ B pesh [**WH**]

**6:9** • εγκακωμεν: **HF** εκκακωμεν

6:10 • εχομεν (𝔚•𝔎):𝔓$^{46}$ B$^{2}$, A C 81 1175 365-1319, 1739$^{supp}$ 1881, D F G, 330 P 075$^{supp}$ 0150 206 1241$^{supp}$ 1505 2344 2464, K L Ψ 049 056 0142 223 1960 **UBS** **HF**; εχωμεν: B*, ℵ 33, 6, 104 326 614 2412 **WH**

**6:10** • εργαζωμεθα: **HF**$^{marg}$ εργαζομεθα

6:11 • πηλικοις (𝔄$^{pt}$+𝔥•𝔒•𝔚•𝔎): B$^{2}$, ℵ A C 81 1175 365-1319, 1739 1881 *rell* **UBS** **WH**$^{txt}$ **HF**; ηλικοις (𝔓): 𝔓$^{46}$ B*, 33 **WH**$^{marg}$; ποικιλοις 0278 (642 ποικιλοις υμων for ποικιλοις υμιν)

6:12 • ινα τω σταυρω του χριστου μη διωκωνται ℵ 33, 1739, D, 104 **UBS**; ινα τω στα. τω χρ. μη διωκονται A C, P 0150 0278; ινα μη τω στα. του χρ. διωκωνται 365, 330 436, Ψ 049 223 1960 **HF**; ινα μη τω. στα. του χρ. διωκονται 81 1319, F G, 075$^{supp}$ 206 2344, K L 056 0142; ινα τω στα. του χρ. ιησου μη διωκωνται B (**WH** [ιησου]); ινα τω στα. του χρ. ιησου με διωκονται 𝔓$^{46}$; ινα μη τω στα. του χρ. ιησου διοκονται 69

6:13 • περιτεμνομενοι (𝔄•𝔎$^{pt}$?): ℵ A C 33, 1739, D a f vg, P 075$^{supp}$ 0150 0278 104 436 1241$^{supp}$ 1505-2495 1962 2344 2464, K **UBS** **WH**$^{txt}$ **HF**$^{marg}$; περιτετμημενοι (𝔓•𝔎$^{pt}$): 𝔓$^{46}$ B, 1175 365-1319-2127, 6 630, b d r, 330-451-2492 69 206 614, L Ψ 056 0142 223 1960 **WH**$^{marg}$ **HF**$^{txt}$; περιτεμνημενοι G, περιτεμνημοι F, περιτμημενοι 049, περιτεμνεσθε 81

**6:14** • κοσμω: **HF** τω κοσμω

**6:15** • ουτε γαρ: **HF** εν γαρ χριστου ιησου ουτε

**6:15** • εστιν: **HF** ισχυει

6:16 • στοιχουσιν (𝔄$^{pt}$•𝔒•𝔚): A C*, 1739 1881, D F G; στοιχησουσιν (𝔄$^{pt}$•𝔎): B, ℵ C$^{2}$ 33 81 1175 365-1319, 330 P 0150 0278 104 206 436 1241$^{supp}$ 1505 2344 2464, K L Ψ 049 056 0142 223 1960 **UBS** **WH**; στοιχησωσιν 𝔓$^{46}$ 075$^{supp}$

**6:17** • ιησου: **HF** κυριου ιησου

6:18 • ημων: 𝔓$^{46\text{-vid}}$ *rell* **UBS**; *omit* ℵ, 1739 1881, (P also omits χριστου) 69 623 1241$^{supp}$ 2464 (**WH** [ημων])